Αδριανουπόλεως Μητρόπολις 1401

Acta Pat.

Τ.Β! σελ.561

+'Ιερώτατοι μητροπολῖται καί ὑπέρτιμοι,ὅ τε Προύσης καί τόν τόπον ἔχων τοῦ Νικομηδείας ὅ τε Νικαίας καί ἔξαρχος πάσης Βιθυνίας,ἐν ἁγίῳ πνεύματι ἀγαπητοί ἀδελφοί τῆς ἡμῶν μετριότητος καί συλλειτουργοί·χάρις ὑμῖν εἴη ἀπό θεοῦ καί εἰρήνη.γινώσκετε καί ὑμεῖς,ὡς ἡ Αδριανουπόλεως ἁγιωτάτη μητρόπολις ἐπέκεινα τῶν δύο χρόνων γνησίου ἀμοιρῷ ἀρχιερέως,ἔδοξεν οὖν ἡμῖν καλόν καί συνήξαμεν τήν θείαν καί ἱεράν σύνοδον,καί ἐποίησαν εἰς αὐτήν ψήφους κατά τήν ἐκκλησιαστικήν ἀλήθειαν,ἐτέθη οὖν εἰς τάς ψήφους μετά τῶν ἄλλων καί ὁ θεοφιλέστατος ἐπίσκοπος Μελανίων·ἡ γοῦν μετριότης ἡμῶν,ἥτις ἔχει τήν ἐπιλογήν τῶν προσώπων,ἐξελέξατο πρό τῶν ἄλλων τόν τοιοῦτον θεοφιλέστατον ἐπίσκοπον εἰς τήν τοιαύτην ἐκκλησίαν,γράφει οὖν ὑμῖν ἡ μετριότης ἡμῶν,ἵνα ἑνωθῆτε καί δηλώσητε τοῦτο πρός αὐτόν,καί ἐάν εὐχαριστῇ καί προσκυνῇ εἰς τοῦτο καί ἐν στέρνι.......ὁλοψύχως,ὡς μεγάλα εὐεργετούμενος ἀπό τῆς ἐκκλησίας Χριστοῦ καί τῆς ἡμῶν μετριότητος καί τῆς θείας καί ἱερᾶς συνόδου,εἴπατε αὐτῷ ἵνα σπουδάσῃ καί ἐπιμελήσηται,ὅσον ἔνι δυνατόν μεῖς τούς αὐτόθι ἄρχοντας,ἵνα λάβῃ ἄδειαν, καί ἔλθῃ ἐνταῦθα καί γένηται εἰς αὐτόν ἡ μετάθεσις καί κατά τήντῆς ἐκκλησίας Χριστοῦ τάξιν τε καί συνήθειαν,καί σπουδασάτω εἰς τοῦτο, ὅσον ἔνι δυνατόν,ἐπεί καί εἰς τιμήν αὐτοῦ τουτ'ἔσται·εἰ δέ πάνατα ποιήσας μή δυνηθῇ τοῦτ'ἐφευρεῖν παρά τῶν αὐτόθι ἀρχόντων,ἐπεί οὐ δίκαιον ἐμποδίζεσθαι τά ἐκκλησιαστικά ἀπό τῆς τῶν ἀσεβῶν τυραννίδος,ἔδοξεν ἡμῖν καλόν κατά δεύτερον λόγον καί στέλλο εν αὐτόθι τήν ὁμολογίαν τήν συνήθως δεδομένην παρά πάντων ἀρχιερέων ἐπ'ἐκκλησίας Χριστοῦ ἀναγνώ ω τοίνυν αὐτήν προκαθημένων ὑμῶν,προτάξας ἐν ταύτῃ

καί ὑπογράψας διά τήν ἄνωθεν περί ταῦτα ἐκκλησιαστικήν συνή-θειαν,ὑπογράψατε δέ καί ὑμεῖς ἐν αὐτῇ ὄπισθεν μαρτυρίας χάριν διά τό βέβαιον,καί στείλατε αὐτήν εἰς τήν ἡμῶν μετριότητα καί τήν θείαν καί ἱεράν σύνοδον,μεθ'οὗ πληροφορεῖται ὁ ἐπίσκο-πος καί τότε σταλήσεται μετά τοῦ αὐτοῦ πάλιν ἡ τῆς μεταθέσεως πρᾶξις πρός τόν αὐτόν ἐπίσκοπον καί προβιβασθήσεται εἰς γνή-σιον μητροπολίτην'Αδριανουπόλεως,καί ἀπελεύσεται αὐτόθεν εἰς τήν τοιαύτην μητρόπολιν,τοῦτο δέ διακρίνομεν διά τήν ἀνάγκην καί τήν τῆς μάχης δυσχέρειαν,ἐπεί τό καλόν καί τό κύριον ἐνταῦθα ἔνι δίκαιον,ἵνα ἔλθῃ καί γένηται εἰς πάντα ἡ ἐκκλησιαστική τάξις τε καί συνήθεια,ὅμως τό δυνατόν γενέσθω ἡ τοῦ θεοῦ χά-ρις καί τό ἔλεος εἴη μετά τῆς ὑμῶν ἱερότητος.+

Εἶχε καί διά τιμίας πατριαρχικῆς χειρός τό· μηνί μαΐῳ ἰνδ. ι΄+.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Acta Pat.

Τ.Β: σελ.561

+'Ιερώτατοι μητροπολῖται καί ὑπέρτιμοι,ὅ τε Προύσης καί τόν τόπον ἔχων τοῦ Νικομηδείας ὅ τε Νικαίας καί ἔξαρχος πάσης Βιθυνίας,ἐν ἁγίῳ πνεύματι ἀγαπητοί ἀδελφοί τῆς ἡμῶν μετριότητος καί συλλειτουργοί·χάρις ὑμῖν εἴη ἀπό θεοῦ καί εἰρήνη.γινώσκετε καί ὑμεῖς,ὡς ἡ Ἀδριανουπόλεως ἁγιωτάτη μητρόπολις ἐπεκεινα τῶν δύο χρόνων γνησίου ἄμοιρῷ ἀρχιερέως,ἔδοξεν οὖν ἡμῖν καλόν καί συνήξαμεν τήν θείαν καί ἱεράν σύνοδον,καί ἐποίησαν εἰς αὐτήν ψήφους κατά τήν ἐκκλησιαστικήν ἀλήθειαν,ἐτέθη οὖν εἰς τάς ψήφους μετά τῶν ἄλλων καί ὁ θεοφιλέστατος ἐπίσκοπος Μελανίων·ἡ γοῦν μετριότης ἡμῶν,ἥτις ἔχει τήν ἐπιλογήν τῶν προσώπων,ἐξελέξατο πρό τῶν ἄλλων τόν τοιοῦτον θεοφιλέστατον ἐπίσκοπον εἰς τήν τοιαύτην ἐκκλησίαν,γράφει οὖν ὑμῖν ἡ μετριότης ἡμῶν,ἵνα ἑνωθῆτε καί δηλῶσητε τοῦτο πρός αὐτόν,καί ἐάν εὐχαριστῇ καί προσκυνῇ εἰς τοῦτο καί ἐν στέρνι.......ὁλοψύχως,ὡς μεγάλα εὐεργετούμενος ἀπό τῆς ἐκκλησίας Χριστοῦ καί τῆς ἡμῶν μετριότητος καί τῆς θείας καί ἱερᾶς συνόδου,εἴπατε αὐτῷ ἵνα σπουδάσῃ καί ἐπιμελήσηται,ὅσον ἔνι δυνατόν μεἰς τούς αὐτόθι ἄρχοντας,ἵνα λάβῃ ἄδειαν,καί ἔλθῃ ἐνταῦθα καί γένηται εἰς αὐτόν ἡ μετάθεσις καί κατά τήντῆς ἐκκλησίας Χριστοῦ τάξιν τε καί συνήθειαν,καί σπουδασάτω εἰς τοῦτο,ὅσον ἔνι δυνατόν,ἐπεί καί εἰς τιμήν αὐτοῦ τουτ'ἔσται·εἰ δέ πάνατα ποιήσας μή δυνηθῇ τοῦτ'ἐφευρεῖν παρά τῶν αὐτόθι ἀρχόντων,ἐπεί οὐ δίκαιον ἐμποδίζεσθαι τά ἐκκλησιαστικά ἀπό τῆς τῶν ἀσεβῶν τυραννίδος,ἔδοξεν ἡμῖν καλόν κατά δεύτερον λόγον καί στέλλο εν αὐτόθι τήν ὁμολογίαν τήν συνήθως δεδομένην παρά πάντων ἀρχιερέων ἐπ'ἐκκλησίας Χριστοῦ ἀναγνώ ω τοίνυν αὐτήν προκαθημένων ὑμῶν,προτάξας ἐν ταύτῃ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καί ὑπογράψας διά τήν ἄνωθεν περί ταῦτα ἐκκλησιαστικήν συνή-
θειαν, ὑπογράψατε δέ καί ὑμεῖς ἐν αὐτῇ ὄπισθεν μαρτυρίας χάριν
διά τό βέβαιον, καί στείλατε αὐτήν εἰς τήν ἡμῶν μετριότητα
καί τήν θείαν καί ἱεράν σύνοδον, μεθ' οὗ πληροφορεῖται ὁ ἐπίσκο-
πος καί τότε σταλήσεται μετά τοῦ αὐτοῦ πάλιν ἡ τῆς μεταθέσεως
πρᾶξις πρός τόν αὐτόν ἐπίσκοπον καί προβιβασθήσεται εἰς γνή-
σιον μητροπολίτην Ἀδριανουπόλεως, καί ἀπελεύσεται αὐτόθεν εἰς
τήν τοιαύτην μητρόπολιν, τοῦτο δέ διακρίνομεν διά τήν ἀνάγκην καί
τήν τῆς μάχης δυσχέρειαν, ἐπεί τό καλόν καί τό κύριον ἐνταῦθα
ἔνι δίκαιον, ἵνα ἔλθῃ καί γένηται εἰς πάντα ἡ ἐκκλησιαστική
τάξις τε καί συνήθεια, ὅμως τό δυνατόν γενέσθω ἡ τοῦ θεοῦ χά-
ρις καί τό ἔλεος εἴη μετά τῆς ὑμῶν ἱερότητος.+

Εἶχε καί διά τιμίας πατριαρχικῆς χειρός τό· μηνί μαΐῳ
ἰνδ. ι΄+.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ